ἐξήγειρεν σφοδροτέραν· ἀλλ' οὐ καιρίαν ἔδωκε τὴν πληγήν. Εἰ μὲν γὰρ μετὰ χρόνον πολύν, μετὰ νηστείας τε συνεχεῖς καὶ τὴν χαμευνίαν καὶ τὴν ἄλλην ἄσκησιν κατέβαλεν, ἦν μὲν οὐδὲ τότε ἀπογνῶναι, πλὴν ἄν τις πολλὴν ἔφη τὴν ζημίαν γεγενῆσθαι, μετὰ πολλοὺς πόνους καὶ ἱδρῶτας καὶ νίκας τῆς ἥττης γενομένης· ἐπειδὴ δὲ ἅμα τῷ πρὸς αὐτὸν ἀποδύσασθαι ὑπεσκέλισεν, τοσοῦτον ἤνυσε μέν, ὅσον ⟨σὲ⟩ † σπουδαιότερον γενέσθαι πρὸς τὴν κατ' αὐτοῦ μάχην εἰργάσατο. Ἄρτι γάρ σοι ἐκπλέοντι, οὐκ ἐκ τῆς ἐμπορίας ἐπανιόντι, οὐδὲ πλήρη τὸν φόρτον ἐπιφερομένῳ, ὁ δεινὸς ἐπέθετο πειρατής· καὶ καθάπερ λέοντα γενναῖόν τις ἀνελεῖν ἐπιχειρήσας, ἐπειδὰν τὴν δορὰν ἐπιξύσειεν μόνον, ἐκεῖνον μὲν ἔβλαψεν οὐδέν, ἤγειρεν δὲ καθ' ἑαυτοῦ καὶ μᾶλλον ἀσφαλέστερον καὶ δυσάλωτον τοῦ λοιποῦ πεποίηκεν· οὕτω δὴ καὶ ὁ κοινὸς ἁπάντων ἐχθρὸς βαθεῖαν ἐπιχειρήσας πῆξαι τὴν πληγήν, τούτου μὲν ἀπέτυχεν, ἐγρηγορέναι δὲ καὶ νήφειν τοῦ λοιποῦ παρεσκεύασε μᾶλλον.

2. Ὀλισθηρὸν ἡ ἀνθρωπίνη φύσις καὶ ὀξὺ μὲν κλαπῆναι, ὀξὺ δὲ ἀνενεγκεῖν ἐκ τῆς ἀπάτης, καὶ ὥσπερ πίπτει ταχέως, οὕτω καὶ θᾶττον ἀνίσταται. Καὶ γὰρ ὁ μακάριος ἐκεῖνος ἀνήρ, τὸν Δαυῒδ λέγω τὸν ἐκλεκτὸν βασιλέα καὶ προφήτην, ἡνίκα πολλὰ κατώρθωσεν, οὐκ ἔλαθεν ἄνθρωπος ὤν, ἀλλ' ἠράσθη